sed ex iis qui sunt pars ciuitatis,& ex quibus ciuitas constat. horum enim præcellens multitudo signum est magnæ ciuitatis, ex qua verò ciuitate operarij quidem permulti exeunt, bellatores autem pauci, hanc impossibile est esse magnam. non enim idem est magna ciuitas & populosa, quinetiã re & effectu patet, quia difficile est & forsan impossibile, vt quæ nimium populosa sit ciuitas, optimè gubernetur. Earum certè quæ bene gubernari dicuntur,nullam videmus in populosam multitudinem esse diffusam.Patet etiam ex rationum fide.nam lex ordinatio quędã est, & bonam legis positionem necessarium est esse bonam ordinationem:at multitudo nimium magna non potest recipere ordinationem. diuinæ enim potentiæ id opus esset, quæ & hoc tottum continet, cùm &bonũ quidẽ in multitudine ac magnitudine consueuit fieri , quapropter & ciuitatem illam , cuius cum magnitudine dictus terminus existit, optimam esse necesse est.Sed est quædam mensura magnitudinis ciuitati , quemadmodum & aliorum omnium animalium, plantarum, instrumẽtorum. nam horum singula, neque parua nimium. neque magnitudine excessiua suam potentiam retinebunt , sed aut destituta erunt omnino à natura , vel malè se habebunt. Ceu nauis vnius palmæ non erit penitus nauis , neque duorum stadiorum : sed si processerit ad aliquam magnitudinem,quandoque propter paruitatem malefaciet nauigationẽ,quandoque propter excessum. ita & ciuitas , si ex nimium paucis sit, non est per se sufficiens:sin ex nimium multis,sufficiens quidem in necessariis erit vt gens , sed non vt ciuitas. rempublicam enim non facile est in illis constitui.nã quis dux esset tam excessiuæ multitudinis,aut quis præco nõ stentorius? Quocirca necesse est primam esse ciuitatem illam,quæ ex ea multitudine constat , quæ multitudo prima per seipsam sufficiens sit ad bene viuendum in ciuili societate , recipitur verò , vt ea quæ multitudinem hanc excedit, sit maior ciuitas:sed hoc non est,vt diximus,infinitũ. Quæ verò sit huius excessus determinatio , ex operibus intelligi faciliter potest. sunt enim actus ciuitatis imperantium atque parentium , imperantis quidem opus est iubere ac iudicare : ad iudicandum verò secundum iustitiam , & ad magistratus demandandos secundum dignitatem,

A καὶ μετοίκων, καὶ ξένων) ἀλλ' ὅσοι περ ἂν ὦσι μέρος, καὶ ἐξ ὧν συνίσταται πόλις οἰκείων μορίων· ἡ γὰρ τούτων ὑπεροχὴ τοῦ πλήθους, μεγάλης πόλεως σημεῖον. ἐξ ἧς δὲ βάναυσοι μὲν ἐξέρχονται πολλοὶ τὸν ἀριθμὸν, ὁπλῖται δὲ ὀλίγοι, ταύτην ἀδύνατον εἶναι μεγάλην. οὐ γὰρ ταὐτὸν μεγάλη τε πόλις καὶ πολυάνθρωπος. ἀλλὰ μὴν καὶ τοῦτό γε ἐκ τῶν ἔργων φανερὸν ὅτι χαλεπόν. ἴσως δ' ἀδύνατον B εὐνομεῖσθαι τὴν λίαν πολυάνθρωπον. τῶν γοῦν δοκουσῶν πολιτεύεσθαι καλῶς οὐδεμίαν ὁρῶμεν οὖσαν ἀνειμένην πρὸς τὸ πλῆθος. τοῦτο δὲ δῆλον καὶ διὰ τῆς τῶν λόγων πίστεως. ὅ τε γὰρ νόμος τάξις τίς ἐστι, καὶ τὴν εὐνομίαν ἀναγκαῖον εὐταξίαν εἶναι· ὁ δὲ λίαν ὑπερβάλλων ἀριθμὸς, οὐ δύναται μετέχειν C τάξεως. θείας γὰρ δὴ τοῦτο δυνάμεως ἔργον, ἥτις καὶ τόδε συνέχει τὸ πᾶν· ἐπεὶ τό γε καλὸν ἐν πλήθει καὶ μεγέθει εἴωθε γίνεσθαι. διὸ καὶ πόλιν, ἧς μετὰ μεγέθους ὁ λεχθεὶς ὅρος ὑπάρχει, ταύτην εἶναι καλλίστην ἀναγκαῖον. ἀλλ' ἔστι τι καὶ πόλεσι μεγέθους μέτρον, ὥσπερ καὶ τῶν ἄλλων πάντων, ζώων, φυτῶν, ὀργάνων. καὶ γὰρ τούτων ἕκαστον, οὔτε λίαν μικρὸν, οὔτε D κατὰ μέγεθος ὑπερβάλλον ἕξει τὴν αὑτοῦ δύναμιν· ἀλλ' ὁτὲ μὲν, ὅλως ἐστερημένον ἔσται τῆς φύσεως, ὁτὲ δὲ, φαύλως ἔχον· οἷον, πλοῖον σπιθαμιαῖον μὲν, οὐκ ἔσται πλοῖον ὅλως, οὐδὲ δυοῖν σταδίοιν· εἰς δέ τι μέγεθος ἐλθὸν, ὁτὲ μὲν, διὰ σμικρότητα φαύλην ποιήσει τὴν ναυτιλίαν, ὁτὲ δὲ, διὰ τὴν ὑπερβολήν. ὁμοίως δὲ καὶ πόλις, ἡ μὲν ἐξ ὀλίγων λίαν, οὐκ αὐτάρ- E κης· ἡ δὲ πόλις, αὔταρκες· ἡ δὲ ἐκ πολλῶν, ἄγαν, ἐν μὲν τοῖς ἀναγκαίοις αὐτάρκης, ὥσπερ ἔθνος, ἀλλ' οὐ πόλις· πολιτείαν γὰρ οὐ ῥᾴδιον ὑπάρχειν. τίς γὰρ στρατηγὸς ἔσται τοῦ λίαν ὑπερβάλλοντος πλήθους, ἢ τίς κῆρυξ μὴ στεντόρειος; διὸ πρώτην μὲν εἶναι πόλιν ἀναγκαῖον τὴν ἐκ τοσούτου πλήθους, ὃ πρῶτον πλῆθος αὔταρκες πρὸς τὸ εὖ ζῆν ἐστι κατὰ F τὴν πολιτικὴν κοινωνίαν. ἐνδέχεται δὲ καὶ τὴν ταύτης ὑπερβάλλουσαν κατὰ πλῆθος, εἶναι μείζω πόλιν. ἀλλὰ τοῦτ' οὐκ ἔστιν, ὥσπερ εἴπομεν, ἀόριστον. τίς δ' ἐστὶν ὁ τῆς ὑπερβολῆς ὅρος, ἐκ τῶν ἔργων ἰδεῖν ῥᾴδιον. εἰσὶ γὰρ αἱ πράξεις τῆς πόλεως, τῶν μὲν ἀρχόντων, τῶν δ' ἀρχομένων· ἄρχοντος δ', ἐπίταξις καὶ κρίσις ἔργον. πρὸς δὲ τὸ κρίνειν περὶ τῶν δικαίων, καὶ πρὸς τὸ τὰς ἀρχὰς διανέμειν κατ' ἀξίαν, ἀναγ-